UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

LXVI. Quomodo funus Nicomedia Constantinopolim deductum est in palatium.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

τῆς ἁπασῶν ἡμέρας, ἣν δὴ ἑορτὴν ἑορτῶν οὐκ ἄν τις διαμάρτοι καλῶν, ἀμφὶ μεσημβρινὰς ἡλίου ὥρας, πρὸς τὸν αὐτοῦ Θεὸν ἀνελαμβάνετο. θνητοῖς μὲν τὸ συγγενὲς παραδοὺς ἔχειν. αὐτὸς δ', ὅσον ἦν αὐτοῦ τῆς ψυχῆς νοερόν τε καὶ φιλόθεον, τῷ αὐτοῦ Θεῷ συναπτόμενος· τοῦτο τέλος τῆς Κωνσταντίνου ζωῆς· ἀλλὰ γὰρ ἐπίωμεν ἐπὶ τὰ ἑξῆς.

## Κεφ. ΞΕ΄.

*Στρατιωτῶν καὶ ταξιαρχῶν ὀδυρμοί.*

Δορυφόροι μὲν αὐτίκα καὶ πᾶν τὸ τῶν σωματοφυλάκων γένος, ἐσθῆτας περιρρηξάμενοι, σφᾶς τε αὐτοὺς ῥίψαντες ἐπ' ἐδάφους, τὰς κεφαλὰς ἤρασσον. κωκυτούς, φωνὰς οἰμωγαῖς θ' ἅμα καὶ βοαῖς ἀφιέντες. τὸν δεσπότην. τὸν κύριον, τὸν βασιλέα, οὐχ οἷα δεσπότην, πατέρα δ' ὥσπερ, γνησίων παίδων δίκην, ἀνακαλούμενοι ταξίαρχοι δὲ καὶ λοχαγοί, τὸν σωτῆρα. φύλακα. τὸν εὐεργέτην ἀνεκαλοῦντο· τὰ τε λοιπὰ στρατιωτικὰ σὺν παντὶ κόσμῳ τῷ πρέποντι, οἷα ἐν ἀγέλαις τὸν ἀγαθὸν ἐπόθουν ποιμένα· δῆμοί θ' ὡσαύτως τὴν σύμπασαν περινοστοῦν πόλιν, τὸ τῆς ψυχῆς ἐνδόμυχον ἄλγος κραυγαῖς καὶ βοαῖς ἔκδηλον ποιούμενοι· ἄλλοι δὲ κατηφεῖς ἐπτοημένοις ἐῴκεσαν. ἑκάστου τε πένθος ἴδιον ποιουμένου, αὐτόν τε κόπτοντος, ὡσανεὶ τοῦ κοινοῦ ἁπάντων ἀγαθοῦ τὴν αὐτῶν ἀφῃρημένου ζωῆς.

## Κεφ. ΞϚ΄.

*Μετακομιδὴ τοῦ σκήνους ἀπὸ Νικομηδείας ἐν Κωνσταντίνου πόλει ἐν παλατίῳ.*

Ἄραντες δ' οἱ στρατιωτικοὶ τὸ σκῆνος, χρυσῇ κατετίθεντο λάρνακι. ταύτην θ' ἁλουργικῇ ἁλουργίδι περιέβαλλον, ἐκόμιζόν τ' εἰς τὴν βασιλέως ἐπώνυμον πόλιν· κἄπειτ' ἐν αὐτῷ τῷ πάντων προφέροντι τῶν βασιλείων οἴκων, βάθρων ἐφ' ὑψηλῶν κατετίθεντο. φῶτά τ' ἐξάψαντες κύκλῳ ἐπὶ σκευῶν χρυσῶν, θαυμαστὸν θέαμα τοῖς ὁρῶσι παρεῖχον, οἷον ἐπ' οὐδενὸς πώποτ' ἐφ' ἡλίου αὐγαῖς ἐκ πρώτης αἰῶνος συστάσεως ἐπὶ γῆς ὤφθη. ἔνδον γὰρ τοι ἐν αὐτῷ παλατίῳ κατὰ τὸ μεσαίτατον τῶν βασιλείων, ἐφ' ὑψηλῆς κείμενον χρυσῆς λάρνακος τὸ βασιλέως σκῆνος, βασιλικοῖς τε κόσμοις, πορφύρᾳ τε καὶ διαδήματι τετιμημένον, πλεῖστοι περιστοιχισάμενοι, ἐπαγρύπνως δι' ἡμέρας, καὶ νυκτὸς ἐφρούρουν.

consecutus, ultima tandem die, quam si quis omnium festivitatum maximam vocet, haudquaquam meo judicio aberraverit, circa meridiem migravit ad Dominum; mortalibus quidem partem sui mortalem relinquens: eam verò animæ partem quæ intelligentia & amore Dei prædita erat, Deo suo conjungens. Hic Constantino exitus vitæ fuit. Sed pergamus ad reliqua.

## CAPUT LXV.

*Militum & Tribunorum planctus.*

ET Protectores quidem omnisque stipatorum turba, confestim discerptis vestibus pronos se in terram abjicientes caput solo illidebant, ejulatus & lamenta cum planctu & clamoribus edentes; eumque dominum atque Imperatorem, nec ut dominum sed ut parentem piissimi liberi inclamantes. Tribuni verò & Centuriones servatorem; præsidem; bene meritum prædicabant. Reliqui exercitus tanquam greges quidam, cum omni modestia ac reverentia optimum pastorem desiderabant. Plebs quoq; per universam civitatem discurrebat, intimum animi sui dolorem vociferatione, & clamorib⁹ abunde significans. Multi præ dolore, attonitis similes videbantur; singulis hanc propriam calamitatem reputantibus, seque ipsos plangentibus, utpote communi omnium bono ex hac vita sublato.

## CAPUT LXVI.

*Quomodo funus Nicomediâ Constantinopolim deductum est in palatium.*

POsthæc milites sublatum è lecto corpus in arca aurea deposuerunt, eamque purpurea obtectam veste Constantinopolim deportarunt, atque in præcipuo Imperialis palatii cubiculo sublimem collocaverunt. Dehinc aurea super candelabra luminibus undiq; accensis, admirabile spectaculum intuentibus præbebatur, & quale in nullo unquam mortalium ab ipso orbis conditu visum in terris fuerat. Quippe in medio conclavi regalis palatii, funus Imperatoris in arca aurea sublime jacens, regiis insignibus, purpura scilicet ac diademate exornatum, multi circũdantes noctu atque interdiu vigiles custodiebant.